χλωρίζων. ἐμβριθέστατος δὲ μᾶλλον παρὰ τὴν ἀρχὴν τοῦ ἔαρος, ὅτε ἡ ἀρχὴ τῶν παθῶν.

B.

Λίθος τοπάζιον, ἐρυθρὸς τῷ εἴδει ὑπὲρ τὸν ἄνθρακα. † γίνεται δὲ ἐν Τοπάζῃ πόλει τῆς Ἰνδίας, ὑπὸ τῶν ἐκεῖσε ποτὲ λίθους λατομούντων, ἐν καρδίᾳ ἑτέρου λίθου: ὃν οἱ λατομήσαντες θεασάμενοι φαιδρὸν, καὶ ὑποδείξαντες † ἀλαβαστρόν τισιν, ἀπέδοντο ὀλίγου τιμήματος. Θηβαῖοι δὲ προσενήνεγκαν τῇ κατ' ἐκεῖνον καιρὸν βασιλίσσῃ. ἡ δὲ λαβοῦσα, ἐν τῷ αὐτῆς διαδήματι μέσον τοῦ μετώπου προσέθετο. ἔχει δὲ ὁ λίθος δοκιμὴν τοιαύδε. τριβόμενος ἐν ἰατρικῇ ἀκόνῃ, οὐκ ἐρυθρὸν ἀποδίδωσι κατὰ τὸ χρῶμα τὸν χυλὸν, ἀλλὰ γαλακτώδη. ἐμπίπλησι δὲ κρατῆρας ὅσους ἂν θέλῃ ὁ ἀποτρίβων, καὶ τοῦ προτέρου σταθμοῦ οὐκ ἐλαττοῦται οὐδ' ὅλως. χρησιμεύει δὲ καὶ ὁ ἐξ αὐτοῦ οὗτος χυλὸς πρὸς πάθος ὀφθαλμῶν. καὶ πινόμενος δὲ ἀντιπαθεῖ πρὸς ὕδρωπας, καὶ τοῖς ἀπὸ σταφυλῆς θαλασσίας μαραινομένοις.

† εὑρίσκεται

† Forte ὡς ἀλάβαστρον: vel, Θηβαίοις τισίν.

λίθος